ναυτικῶν. τουτέστιν ἀπὸ τοῦ κυβερνᾶν καὶ τοῦ ῥόθου τὸ ἐφ' ἕνδεκα κώπαις ἐπήγαγεν. ἢ ἐπειδὴ οἱ Ἀθηναῖοι τῶν A ναυτικῶν ἐπιστήμονες ἦσαν.

BISETUS. Ἔκθεσις κώλων δ.

Θόρυβον χρηστὸν ληναΐτην,
Ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
Κατὰ νοῦν πράξας,
Φαιδρὸς λάμποντι μετώπῳ.

*Strepitum vtibilem Lenaiten:*
*Vti poëta hic abeat lætus,*
*Voti compos,*
*Vultu fulgénsque sereno.*

B

Σχόλια. Ληναΐτην.] ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ Λήναια. ἔστι δὲ εἰς Διόνυσον. ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ ὁ Δημοσθένης εἶπεν ἐξ ἁμάξης. ἐπὶ ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι λέγουσι καὶ ᾄδουσι τὰ ποιήματα. Φαιδρὸς λάμποντι μετώπῳ.] ἱλαρός. φαιδρὸς τὸ μέτωπον. ἢ διὰ τὸ φαλακρὸν εἶναι τὸν Ἀριστοφάνην.

ΣΤΡΟΦΗ
κώλων ιδ.

C

Τροχαϊκοὶ δίμετροι.

Ἵππι' ἄναξ, Πόσειδον, ᾧ
Χαλκοκρότων ἵππων κτύπος,
Καὶ χρεμετισμὸς ἁνδάνει,
Καὶ κυανέμβολοι θοαὶ
Μισθοφόροι τριήρεις,
Μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν,
Καὶ βαρυδαιμονούντων.
Δεῦρ' ἔλθ' ἐς χορὸν ὦ χρυσοτρίαιν', ὦ
Δελφίνων μεδέων Σουνιάρατε.
Ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ', ἐκ
Τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστώς.

STROPHE
*vers.* 14.

*Trochaici Dimetri.*

*Rex maris ô equester, ô*
*Cui fremitus placent equûm,*
*Et creperi frenûm lupi:*
*Rostráque acuta nauium,*
D *Aera foris merentum,*
*Et iuuenes, Olympico*
*Qui renitent certamine*
*Sorte grauati iniqua.*
*Huc huc, qui trifida cuspide Phocis*
*Imperas sua quam Sunia adorant:*
*O Gærestie, magne Rex,*
*Phormioni amice: tu*
E *Præ diuis alijs, Athe-*
*Narum vrbi bonus adsis.*

Σχόλια. Ἵππι' ἄναξ Πόσειδον.] οὐκ ἀργῶς τῷ Ποσειδῶνι νῦν ἐπίθετον ἔθηκε τοῦτο. ἐπεὶ καὶ αὐτὸς ὁ χορὸς συνέστηκεν ἐξ ἱππέων. ἀποσεμνύνων οὖν βουλόμενος ἐπιτήδευμα τὸ αὐτοῦ, οὕτω τὸν Ποσειδῶ προσεῖπε. τουτέστιν ἱππικέ. Εἰς τὸ αὐτὸ διπλῆ εἶτα ἐπάγεται ἐπιρρηματικὴ συζυγία. ἧς μέλη καὶ περίοδοι εἰσὶ ιδ κώλων. ὧν τὰ μὲν ὀκτὼ χοριαμβικὰ ἰαμβικὴν ἔχοντα ἐπιμεμιγμένην ἀκαταλήκτων καὶ καταληκτικὴν ὡς ἐν τῷ ε καὶ η. τῶν δ' ἑξῆς ἀντισπαστικῶν τὰ μὲν θ καὶ ι τρίμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα Γλυκώνεια ἐκ διτροχαίου καὶ ἰάμβου πλὴν τοῦ τελευταίου ἑφθημιμεροῦς. ὃ καλεῖται Φερεκράτειον ὑφ' ὃ παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. δηλοῦσα ἔχειν ἀνταπόδοσιν. τοῖς αὐτοῖς δὲ καὶ ἡ ἀντιστροφὴ σύγκειται. ἐφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. Χαλκοκρότων.] χαλκοπόδων, τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων. συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων. Κυανέμβολοι.] ἤτοι αἱ τοὺς ἐμβόλους ἔχουσαι κυανῷ βεβαμμένους, ὡς μιλτοπάρῃοι, αἱ μεμιλτωμέναι. ἢ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν γὰρ τὸ ταύτης ὕδωρ. Μισθοφόροι τριήρεις.] αἱ τοὺς ἐπὶ μισθῷ στρατευομένους ἄγουσαι. Λαμπρυνομένων.] ἀντὶ τοῦ καυχωμένων, καὶ νικώντων ἐν τοῖς ἅρμασι. Βαρυδαιμονούντων.] ὅτι ἄθλιοι ἦσαν οἱ ἱπποτροφοῦντες καταναλίσκοντες αὐτῶν τὴν οὐσίαν. Ὦ χρυσοτρίαινε] περιφραστικῶς τῆς θαλάττης βασιλεῦ. Σουνιάρατε δὲ ᾧ ἐν τῷ Σουνίῳ ἀρῶνται καὶ εὔχονται. Σούνιον δὲ ἀκρωτήριον τῆς Ἀττικῆς.

F

BISETUS. Χρυσοτρίαινε,] τουτέστι χρυσῆν τρίαιναν ἔχων. ἔστι δὲ τοῦ Ποσειδῶνος ἐπίθετον, ὡς τὸ Σουνιάρατε. τρίαιναν δὲ λέγουσι κρατεῖν τὸν Ποσειδῶνα, ἢ διὰ τὸ τρίτον στοιχεῖον εἶναι αὐτόν, ἢ διὰ τὸ εἰς τρία διαιρεῖσθαι τὸ ὕδωρ, εἰς ποτάμιον, εἰς θαλάσσιον, καὶ εἰς λιμναῖον.

Σχόλια. Γεραίστιε.] Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας, τῇ μὲν Κρημνίτην ἔχων, τῇ δὲ Λέχαιον. ἱερὰ δέ εἰσι τοῦ Ποσειδῶνος, ἔνθα ὁ Εὔριπος. Φορμίωνί τε φίλτατε.] προσφιλέστατε τῷ Φορμίωνι. τὸν μῶρον δὲ αἰνίττεται, ὅτι καὶ ὁ Ποσειδῶν τῶν Ἀθηναίων ἀντεποιήσατο, καὶ τῇ Ἀθηνᾷ ἤρισε. στρατηγὸς δὲ Ἀθηναίων ναυτικώτατος ὁ Φορμίων. καὶ πολλάκις εὐτυχήσας ἐν ναυμαχίαις καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας νζ. ναῦς διέφθειρεν. ἐκ τῶν ἄλλων τε θεῶν. ἐκ τῶν ἄλλων θεῶν σὺ μόνος. δεῦρο ἐλθὲ Ἀθηναίοις πρὸς τὸ παρεστώς, τουτέστι πρὸς τὰ παρόντα καὶ ἐνεστῶτα πράγματα. ἐπεὶ νεωστὶ Ἀθηναῖοι Φορμίωνος στρατηγοῦντος περὶ ναυμαχίαν ἠνδραγάθησαν.

G